www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

Bolzanio, Urbano

Venetiis, [Aug. 1496]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[I]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

καὶ θύλακος εἰς ὃ ἐμβάλλομεν καὶ θυμιάματα.

Θυσανόεσσα· κροσσοὺς ἔχουσα· ἀπὸ τοῦ θύσανος θυσανόεις· καὶ τὸ θηλυκὸν θυσανόεσσα· τὸ δὲ θύσανος· παρὰ τὸ θύω τὸ ὁρμῶ· καὶ κεινῶ· θύσω θύσανος.

Θῶνος εὐθεῖα, ἢ θόων θόωνος κατὰ τοὺς παλαιούς, καὶ ἐν συγκοπῇ, θῶνος· ἢ μᾶλλον θῶνις θώνιος καὶ κατὰ συγκοπὴν, θῶνος· φασὶ δὲ αὐτὸν βασιλέα εἶναι τοῦ κατὰ κάνωβον ἡρακλεωτικοῦ στόματος, εὑρέτην ἰατρικῆς παρ᾽ αἰγυπτίοις· ἀφ᾽ οὗ πόλις· καὶ πρῶτος μὲν παρ᾽ αἰγυπτίοις ὠνομάσθη.

## ἈΡΧῊ ΤΟΥ͂ ·Ι· ΣΤΟΙΧΕΊΟΥ·

Α, ἡ μία· ἴος ἴου· ἴα τὸ θηλυκόν· ἡ μία καὶ ἀποκοπὴ τοῦ μ, ἴα·

Ἵασιν, ἀντὶ πέμπουσι· ἵημι· ἵης· ἵησι, ἵεμεν· ἵετε, ἱεῖσιν· ἰακῶς, ἱέασιν· οἱ γὰρ ἴωνες τὴν ει δίφθογγον, εἰς ε καὶ α ἢ εἰς α μακρὸν τρέπουσι· ἱᾶσι καὶ ἀφιᾶσιν.

Ἰάκω τὸ βοῶ· παρὰ τὸ ἴαν, ὃ σημαίνει τὴν φωνήν, ἐξ οὗ ἰαχή.

Ἴαψεν, εἰ μὲν ἁπλῶς τὸ ἔπεμψεν σημαίνει· παρὰ τὸ ἴω [illegible], ἀφ᾽ οὗ τὸ ἵημι· εἰ δὲ μετὰ βλάβης ἔπεμψεν παρὰ τὸ ἰός, ἰάπτω· διαφθαρτικὸς γάρ ἐστιν οὗτος τῆς ὕλης, ἐξ ἧς γίνεται ἐπὶ τῆς βλάβης· ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.

Ἰδέειν ἀπαρέμφατον, ἀορίστου β᾽· καὶ μέσου, ὁ κανών· οἱ ἴωνες ἐπὶ τῶν εἰς εῖν ἀπαρεμφάτων πλεονασμῷ τοῦ ε διὰ τοῦ εῖν προφέρουσιν· θανεῖν, θανέειν· ἰδεῖν, ἰδέειν.

Ἴδει τῷ θέρει οἷον ἴδει ἐν αἰνοτάτῳ· τὸ ἴδος τοῦ ἴδεος καὶ ἴδους· τὸ δὲ ἴδος παρὰ τὸ ἰδίω, τὸ ἱδρῶ.

Ἰδέ οὐκ ἔστι πλεονασμὸς τοῦ δέ· ἀλλὰ θέμα ἐστὶν· ἰδέ, ἢ ἠδέ· ἀντὶ τοῦ καί. τὸ μὲν α᾽, ἰωνικὸν καὶ δι᾽ ἰῶτα· τὸ δὲ δεύτερον· ἀττικὸν· καὶ δι᾽ ἦτα.

Ἴδμεν ἀντὶ τοῦ γινώσκομεν· ἔστιν εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω· ἀφ᾽ οὗ περισπώμενον, ἰσάω, ἰσῶ· ὡς ἀπὸ τοῦ φείδω, καὶ πείθω, φιδῶ καὶ πιθῶ· παράγωγον, ἴσημι, ἴσην, ὁ παρατατικός· ἴσης ἴσησιν· ἴσαμεν

καὶ συγκοπῇ, ἴσμεν. καὶ κατὰ τροπὴν αἰολικὴν τοῦ σ εἰς δ, ἴδμεν. οἱ γὰρ αἰολεῖς ἐπαγομένου τοῦ μ, τὸ πρὸ αὐτοῦ σ εἰς δ τρέπουσιν, ὀσμή, ὀδμή, ἴσμεν, ἴδμεν.

Ἰδνωθῆναι δέ ἐστι τὸ συγκαμφθῆναι. καὶ γίνεται ἀπὸ τοῦ, τὸ ἰνίοις δονηθῆναι. μετατεθέντος τοῦ δ ὀπίσω τοῦ ν. ἔστι δὲ ἰνίον τὸ ὀπίσω τῆς κεφαλῆς, οὗ συμπίπτοντος ἐπὶ τὸ κάτω καὶ συναπτομένου πρὸς τοῖς ὤμοις, ἰδνοῦσθαι λέγεται ὁ τοῦτο πάσχων. τινὲς δὲ τὸ ἰδνωθῆναι τὸ ἀνακλασθῆναι νοοῦσιν. ἀπὸ τῆς αὐτῆς ἐτυμολογίας. ἄλλως δὲ τὸ ἰδνώθη. ἀντὶ τοῦ οἷον συνίζησίν τινα ἔπαθεν, ἀπὸ τοῦ ἵζω τραπέντος τοῦ ζ εἰς δ κατὰ τὴν ἤδη προσεχθεῖσαν συγγένειαν τῶν τοιούτων στοιχείων, καὶ πλεονάσαντος τοῦ ν, ὡς ἐπὶ τοῦ ἰχνῶ, καὶ τῶν ὁμοίων.

Ἱείη κατὰ λειμῶνα. ἱείη. ἵημι τὸ πέμπω, ὁ παρατατικός, ἵην. ἡ μετοχὴ, ἱεὶς ἱέντος. τὸ εὐκτικὸν, ἱείην.

Ἷεν ἧπερ πρόσθεν ἵεν καλλίρροον ὕδωρ. ἑνικόν. ἐπὶ τοῦ ὕδατος. ἐκ τοῦ ἕω τὸ πορεύομαι γίνεται ὁ β' ἀόριστος, ἷον, ἷες, ἷε. καὶ τὸ ν ἐφελκυστικόν ἐστιν. εἰ δὲ ἐπὶ τὸν πόρον ἐκληφθήσεται ἐκ τοῦ ἵημι ἵην ἵεσαν, καὶ συγκοπῇ ἷεν. ἔστι δὲ παρατατικός.

Ἱερεύειν οὐ μόνον τὸ θύειν ἀλλὰ καὶ τὸ ἁπλῶς σφάζειν. ἱερεῖον γὰρ ἀττικῶς, τὸ σφαγιαζόμενον ζῶον.

Ἷεν ἢ ψιλοῦται κείμενον ἀντὶ τοῦ ἐπορεύετο ὕδωρ, ἐκ τοῦ ἷον. ἢ καὶ μετοχὴ τὸ ἰών. ἢ δασυνόμενον ἀντὶ τοῦ ἔπεμπον οἱ ποταμοὶ νοεῖται. γένεσις δὲ αὐτοῦ, ἀπὸ τοῦ ἱεὶς ἱέντος ἀποβολῇ τοῦ τος. ὡς καὶ τὸ βληθέντος ἔβληθεν. καὶ τὰ ὅμοια.

Ἱερῶσθαι. ἱερῶ ἱερώσω σημαίνει δὲ τὸ ἱερὸς νενομίσθαι.

Ἵετο τὸ βάλλειν. παρὰ τὸ ἵημι τὸ σημαῖνον τὸ προθυμοῦμαι. ἢ τὸ πέμπω. τὸ παθητικὸν ἵεμαι, ὁ παρατατικὸς ἱέμην ἵεσο ἵετο.

Ἵεντο προθυμοῦντο. ἵημι, καὶ τὸ παθητικὸν, ἵεμαι ὁ παρατατικὸς ἱέμην. καὶ τὸ γ' τῶν πληθυντικῶν, ἵεντο.

Ἵζω ἰζάνω. ἔστιν ἕω τὸ καθέζομαι καὶ πλεονασμῷ τοῦ ζ, καὶ προ

τροπῇ τοῦ ε εἰς ι, ἵζω. καὶ κατὰ παραγωγὴν, ἱζάνω.

Ἴηλαι τὸ ἐπικάμψαι ἢ κατακλεῖσαι. ἀπὸ τοῦ εἰλῶ τὸ ὑπερθέσει ἰέλω ἰελῶ, ἴηλα τὸ ἴηλαι. κυρίως δὲ σημαίνει τὸ δεσμεῦσαι.

Ἤηλα. ὅ ἐστιν ἰάλλω τὸ ἐμβάλλω καὶ προπέμπω, ὁ μέλλων ἰαλῶ. ὁ ἀόριστος ἴηλα.

Ἴησιέω τὸ πορεύομαι, ὁ δεύτερος ἀόριστος ἶον. τὸ ὑποτακτικὸν ἐὰν ἴω ἴῃς ἴῃ. καὶ πλεονασμῷ τῆς σι, ἴῃσι. ὡς δῶσι.

Ἴθι τὸ πορεύου ἐνταῦθα τὸ ἐλθὲ, τὸ παραγενοῦ. εἶμι τὸ πορεύομαι τὸ πρῶτον τῶν πληθυντικῶν ἴμεν διὰ τοῦ ι. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν συστέλλεται, ὡσαύτως καὶ ἐπὶ τῶν παθητικῶν. τούτου τὸ προστακτικὸν, ἴθι, οἷον δεῦρ' ἴθι, καὶ ἴθι τοῦ πτωχοῦ λαοῦ σου τὴν κάκωσιν ἐπισκεψόμενος, τὸ γ´, ἴτω. ἢ οὕτως. εἶμι τὸ πορεύομαι ὁ παρατατικὸς εἶν, ἡ μετοχὴ εἷς ἕντος. τὸ προστακτικὸν ἔθι, καὶ τροπῇ τοῦ ε εἰς ι, ἴθι. ἢ οὕτως, ἵημι τὸ ἔρχομαι ὁ παρατατικὸς ἵην ἡ μετοχὴ ἱεὶς ἱέντος, ἵεθι καὶ συγκοπῇ, ἴθι. ἴτω.

Ἱκάνω σημαίνει ἐνταῦθα τὸ ἱκετεύω, ἡμεῖς δ' αὖθις ἱκάνομεν τὰ σὰ γοῦνατα. περιγίνομαι σημαίνει καὶ τὸ περιγίνομαι καὶ τὸ καταλαμβάνω. ἦ μέγα πένθος ἀχαιΐδα γαῖαν ἱκάνει.

Ἱκνοῦμαι ἀπὸ τοῦ ἵκω τὸ ἱκετεύω παραγίνομαι. παράγωγον, ἱκάνω. συγκοπῇ, ἵκνω. ἱκνοῦμαι. καὶ ἀφικνοῦμαι. τὸ δὲ ἱκάνω ἀπὸ τοῦ ἷκον δεύτερος ἀόριστος ὡς ἀπὸ τοῦ ἔφυγον, φυγάνω. καὶ πλεονασμῷ τοῦ γ, φυγγάνω. καὶ ἀπὸ τοῦ ἔπυθον, πυνθάνω. καὶ ἀπὸ τοῦ ἔτυχον, τυγχάνω. καὶ ἀπὸ τοῦ ἔπαθον, πανθάνω. καὶ ἀπὸ τοῦ ἔρυγον, ἐρυγγάνω.

Ἴκμενον ἱκῶ ἱκόμενος, καὶ συγκοπῇ ἴκμενος. σημαίνει δὲ τὸν πορευτικὸν ἢ ὑγρὸν παρὰ τὸν ἰκμάδα.

Ἱλάσκεσθαι, ἀπὸ τοῦ ἱλῶ δευτέρας συζυγίας τῶν περισπωμένων, ἱλάσω ὁ μέλλων. πλεονασμῷ τοῦ κ, ἱλάσκω. καὶ μετάγεται εἰς ἐνεστῶτα. ὡς γηράω γηρῶ γηράσω, γηράσκω. ἱλάσκομαι ἱλάσκεται ἱλάσκεσθαι.

Ἱλασσάμενος· ἐξιλεωσάμενος. μετοχὴ παθητικὴ δευτέρας τῶν περισπωμένων. τὸ θέμα, ἱλῶ ἱλᾷς ἱλᾷ, ὁ μέλλων ἱλάσω. καὶ ἐκ τούτου ἱλάθητι. ἱλασμός. ἢ ἐκ τούτου ἱλασσάμενος πλεονασμῷ τοῦ σ διὰ τὸ μέτρον. ἐκ τοῦ ἱλῶ ἵλημι. ἐξ οὗ καὶ τὸ ἱλάθητι γράφεται.

Ἱμᾶσι δεσμοῦσι. οἷον, ἱμᾶσιν οὐκ ἐθέλοντα βιηδήσαντες ἄγουσιν.

Ἰλλίζειν· τὸ διανεύειν. οὐκ ἀΐεις ὅτι δή μοι ἐπιλλίζουσιν ἀχαιοί. ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύοντας εἱλεῖν. ἐξ οὗ καὶ ἰλλάδες οἱ συνεστραμμένοι ἱμάντες. ἢ ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύειν. ἴλλοι γὰρ οἱ ὀφθαλμοὶ ἀπὸ τῆς εἱλήσεως καὶ τῆς ἐπὶ τὰ κάτω φορᾶς.

Ἰλλόμενος παρὰ τὸ ἴλλω ἴλλομαι ἰλλόμενος. ἐκ τοῦ ἴλλος ὁ ὀφθαλμός.

Ἰλυσπῶν· τὸ εἰλυσπᾶσθαι. ἔστι τὸ παραπλήσιον τοῖς σκώληξι καὶ τοῖς ὄφισιν εἶναι. οἱονεὶ τῇ ἰλύϊ σπᾶσθαι. τουτέστιν ἐν τῇ γῇ κυλίεσθαι.

Ἰλαδὸν ἤγουν φαλαγγηδὸν ἢ κατὰ τὰς ἴλας. συστροφὴν γὰρ πλήθους δηλοῖ. καὶ τὸ βοτρυδὸν τὸ ἰλαδὸν καὶ ποιότητος ἀμφότερά εἰσιν ἐπιρρήματα.

Ἱμάσσω σημαίνει τὸ πλήσσω ἢ μαστιγῶ. παρὰ τὸ ἱμὰς ὃ σημαίνει τὸν λῶρον γίνεται ἱμάσσω. τούτου ὁ μέλλων, ἱμάσω, οἷον ἵμασε καλλίτριχας ἵππους. γράφεται δὲ ὁ μέλλων μὴ τρεπόμενον εἰς ξ ὡς πλήσσω, πλήξω. πλήσσω, πλήξω. αἱμάσσω, αἱμάξω.

Ἱμῶσα ἀντλοῦσα, ἀπὸ τοῦ ἱμὰς ἱμάντος. ὅθεν καὶ ἀντλὴς ἱμαῖος λέγεται.

Ἴμεν ἢ ἐκ τοῦ εἶμι τὸ ἔρχομαι γίνεται τοῦ παραληγομένου τῆς ει διφθόγγου· καὶ συστέλλει τὴν ἀρχοῦσαν τῷ λόγῳ τοῦ εἰσμί. ἅπερ ἐπὶ πληθυντικῶν καὶ παθητικῶν συστέλλουσι τὰς παραληγούσας. ἢ ἀπὸ τοῦ ἑτέρου ἴμι ὃ κατὰ μόνας τῷ ι παραλήγεται

λήγεται ὡς ἀπὸ τοῦ ἴω, καὶ οὕτω φυλάσσει ἀναλόγως τὴν διὰ τοῦ βραχέος ι γραφήν. σημείωσαι δὲ ὅτι κατὰ τοὺς τεχνικοὺς διαφορεῖται τὸ εἶμι παρὰ τοῖς παλαιοῖς μονοφθόγγῳ τε παραληγόμενον τῷ ι, καὶ διφθόγγῳ, τῇ διὰ τοῦ ε καὶ ι.

Ἵμεν ἀπαθές, ἰέναι. ὅθεν κριτικῶς, ἰέμεναι. καὶ ἀποκοπῇ, ἰέμεν. καὶ συγκοπῇ, ἵμεν. οὐ γάρ ἐστιν εἰπεῖν, ὡς τὸ ι καὶ ε τοῦ ἰέμεν, ἐκράθη εἰς ι μακρόν. βραχὺ γάρ ἐστιν ὡς ἐν μέτρῳ δακτυλικῷ. ὁρᾶται γοῦν μὲν τὸ ἵμεν τιθὲν διὰ τοῦ ι, ἀντὶ τοῦ ἐλθεῖν. μετὰ γὰρ δύο στίχους φησὶ, κεκακωμένοι ἦμεν ἀντὶ τοῦ ὑπήρχομεν, διὰ τοῦ η. καὶ γίνεται οὕτω ψευδὴς παρήχησις λεληθυῖα. οὐ μὴν ἀναιδὴς κατὰ τὸ ἔδδεισαν, οὐδὲ τὸ δήσαν.

Ἰνδάλλω. ὥσπερ παρὰ τὸ ἄγω γίνεται ἀγάλλω, οὕτω παρὰ τὸ ἰῶ τὸ πέμπω ἰάλλω. οὕτως καὶ παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, ἰδάλλω. καὶ πλεονασμῷ τοῦ ν, ἰνδάλλω.

Ἶξον, οἱ δ' ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν. ἀπὸ τοῦ ἵκω διὰ τοῦ ἰῶτα τοῦ σημαίνοντος τὸ ἱκετεύω καὶ παραγίνομαι. ἀφ' οὗ γίνεται προσλήψει τοῦ ν, τὸ ἱκνῶ καὶ ἱκνοῦμαι. ὁ μέλλων δεύτερος ἶκον. καὶ τροπῇ βοιωτικῇ τοῦ κ εἰς ξ, ἶξον. οὕτως Ἀπολλώνιος. ὁ δὲ Ἡρωδιανὸς οὕτως. εἰ τὰ τούτῳ ὅμοια ἐκ μέλλοντος λέξει μετατίθεσθαι εἰς ἐνεστῶτα. ἴξω, ἴξεις, ἴξει. ἐκ τοῦ ἵκω, ἴξω, μετάγεται εἰς ἐνεστῶτα. τὸ πληθυντικὸν, ἴξομεν, ἴξετε, ἶξον. ὅτι γὰρ οὐκ ἔστι δεύτερος ἀόριστος, ἀλλὰ πρῶτος ἀόριστος, δῆλον ἐκ τοῦ προστακτικοῦ, βῆσε γὰρ καὶ ἶξε, ὡς τύπτε. εἰ δὲ ἦν ἀόριστος δεύτερος, βῆσον ἂν ἦν καὶ ἶξον. εἰ ἶξον, ἤγουν κατέλαβον, φυσικῶς ἔχει τὴν ἐν τῇ ἀρχούσῃ περισπωμένην ὡς χρονικῶς ἐκταθὲν, ἄλλως γὰρ ὤφειλε τὸ δίχρονον ὀξύνεσθαι ὡς θέσει μακρόν, διὰ τὸ κεῖσθαι πρὸ συμφώνου διπλοῦ. πρώτου ἀορίστου γὰρ χρόνου τὸ ἶξον ὡς ἀπὸ μέλλοντος τοῦ ἴξω ἀναβιβασθέντος εἰς ἐνεστῶτα.

Ἰοειδέα, ἀνθώδη ἀπὸ τοῦ ἴου τῆς βοτάνης. Ὅμηρος δὲ τὸν μελανώδη παρὰ τὸ ἰός.

Ἴουλοι φασὶν αἱ κατὰ τῶν γενείων πρῶται τρίχες, λεγόμενοι οὕτω

ἐπεί περ οἱ τοιούτους ἔχοντες, ἵενται ἤδη ἐπὶ τὸ ὅλον ἤγουν τὸ τέλειον, ὡς ἐξανδρούμενοι. ἀπὸ δὲ τούτων καθ' ὁμοιότητα ἔοικε λέγεσθαι καὶ τὸ πολύπουν ζωΰφιον ὁ ἴουλος. τοὺς δὲ ἀνθοῦντας τοὺς ἰούλους καὶ λάχνην εὐανθέα καλεῖ φιλοτιμούμενος τῷ διφθόγγῳ τῆς φράσεως, ἤγουν ἔστι ταυτὸν, κροτάφοισιν ἰούλους ἀνθεῖν καὶ γένυν πυκάσασθαι ὅ ἐστιν ἐσκεπάσθαι εὐανθεῖ λάχνῃ. ὁ πρὸς διαστολὴν εἴρηται λάχνης ἑτεροίας ὁποία ἢ ἡ παρὰ τῷ θερσίτῃ ψεδνή.

Ἰόμωροι, ἤτοι τοξόται, οἱ μόνον ἐμπειροῦντες ἐν ἰοῖς, ἐκτάσει τοῦ ο εἰς ω. ἢ οἱ περὶ ἰοὺς μεμορημένοι ἢ κακοπαθῶς ἔχοντες, ἢ ὀξεῖς ἰοὺς κεκτημένοι. μόρον γὰρ φασὶ παρὰ κυπρίοις τὸ ὀξύ, ἢ πλεονασμῷ τοῦ μ· ἵνα ᾖ ἐνιόωροι, οἱ τῶν ἰῶν ὤραν, ἤτοι φροντίδα ἔχοντες.

Ἱππότα· ἱππικώτατε. ἡ εὐθεῖα ὁ ἱππότης κατὰ μεταπλασμὸν ἱππότα.

Ἱράτω· ὀργιαζέτω κατὰ νόμον ἢ θυέτω· ὀργεῶνες γὰρ οἱ θύται. ἱεράω ἱερῶ, οὗ ὁ μέλλων ἱεράσω, ὁ παρατατικὸς ἱέραον ἱέρων· ἱέραες ἱέρας· ἱέραε ἱέρα· τὸ προστακτικὸν ἱέραε, ἱέρα· ἱεραέτω ἱεράτω, καὶ κράσει τοῦ ι ἢ ε εἰς μακρὸν ι, ἱράτω.

Ἴσαν· ἐπορεύοντο. εἶμι, ὁ παρατατικὸς ᾔειν, ἴμεν ἴτε ἴσαν, ἐπορεύοντο.

Ἴσασιν· ἀντὶ τοῦ γινώσκουσιν. εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω. ὥσπερ ἀπὸ τοῦ φείδω καὶ πείθω βαρυτόνων περισπώμενα, φειδῶ ἢ πιθῶ διὰ τοῦ ι· οὕτως ἀπὸ τοῦ εἴσω, ἰσῶ· ῥῆμα περισπώμενον δευτέρας συζυγίας· ἐξ οὗ παράγωγον ἵσημι· ὅπερ σημαίνει τὸ αὐτό. καὶ ἴσαμι δωρικῶς. τὸ πρῶτον τῶν πληθυντικῶν ἴσαμεν, ἢ συγκοπῇ, ἴσμεν. τὸ δεύτερον, ἴσατε καὶ ἴστε. τὸ τρίτον, ἴσασιν. οὐ προπερισπᾶται δὲ ὡς τὸ ἱστᾶσι. ὁμοφωνεῖ γὰρ τῇ δοτικῇ τῶν πληθυντικῶν, τῶν ἰδίων μετοχῶν, ἴσας ἴσαντος ἴσασιν. ὡς τὸ ἴσασι. διότι ἡ ἴσας μετοχὴ βαρύνεται. πάντων τῶν εἰς ας ὀξυνομένων μετοχῶν τῆς δευτέρας συζυγίας· οἷον ἱστάς, κιχράς. ἔστιν

ἐστὶν εἰπεῖν ὅτι ὁ χαρακτὴρ ἐστὶν αἴτιος τῆς βαρείας τάσεως· πᾶσα γὰρ μετοχὴ διὰ τοῦ ισας βαρύνεται· σεμίσας· σαλπίσας· λεπίσας· καλλωπίσας.

Ἴσθι τὸ ὕπαρχε· εἰμὶ τὸ πρῶτον τῶν πληθυντικῶν, ἐσμέν· ὁ παρατατικὸς γίνεται κατὰ πλεονασμὸν τοῦ σ, ἴσμεν· ἀπὸ τοῦ ἐσμὲν τὸ προστακτικόν, ἔσθι ἀναλόγως· ἐπειδὴ εἰς σ ὀξύτονος ἡ μετοχὴ καὶ διὰ τοῦ ντ κλίνεται, ἐὶς ἔντος· οἷον παῖδά τε ἕντα ἀντὶ τοῦ ὑπάρχοντα· ἐν πλεονασμῷ τοῦ σ, ἔσθι· καὶ ἅμα τῷ πλεονάσαι τὸ σ, τρέπει τὸ ε εἰς ι· ὡς μένω μίμνω· πέτω, πίπτω· ἔχω, ἴσχω· γίνεται ἴσθι· τοῦτο δὲ τὸ ἴσθι κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ε, ἀναδέχεται καὶ γίνεται ἔστω· ἢ οὕτως εἰμί, ὁ παρατατικὸς ἦν· ἡ μετοχὴ, εἷς ἕντος· τὸ προστακτικὸν, ἔθι· ἐν πλεονασμῷ, καὶ ἐκτροπῇ, ἴσθι.

Ἴσθι τὸ γίνωσκε· εἴδω εἴσω· ἴσω· ὡς φείδω, φιδῶ· πείθω, πιθῶ· παράγωγον· ἴσημι· τὸ πρῶτον τῶν πληθυντικῶν ἴσαμεν καὶ ἴσμεν κατὰ συγκοπήν· τὸ προστακτικόν, ἴσαθι καὶ ἴσθι· ἢ οὕτως ἴσημι καὶ ἴσαμι δωρικῶς ὁ παρατατικὸς ἴσην, ἡ μετοχὴ ἴσας ἴσαντος· τὸ προστακτικὸν ἴσαθι καὶ συγκοπῇ ἴσθι· τὸ τρίτον, ἴστω.

Ἴσκεν, ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα· εἰ μὲν σημαίνει τὸ ἐγίνωσκε, παρὰ τὸ εἴδω τὸ γινώσκω· ὁ μέλλων εἴσω, πλεονασμῷ τοῦ κ, εἴσκω· καὶ μετάγει εἰς ἐνεστῶτα· ὡς μεθύω, μεθύσω, μεθύσκω· καὶ ἐπεὶ οὐδέποτε τὰ διὰ τοῦ ισκω θέλουσιν ἔχειν πρὸ τέλους τὴν ει, ἀποβάλλει τὸ ε, καὶ γίνεται ἴσκω· οὗ ὁ παρατατικὸς, ἴσκον· εἰ δὲ σημαίνει τὸ εἴκαζεν ὁμοίου· γίνεται παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, ὁμοίως εἴσκω· ἐν διαιρέσει ἐΐσκω· ὁ παρατατικὸς δὲ χωρὶς διαιρέσεως ἀποβάλλει τὸ ε.

Ἰσοφαρίζειν ἐξισοῦσθαι παρὰ τὸ ἴσα φάρη περιβεβλῆσθαι.

Ἴστε ἐπίστασθε γινώσκετε· οἴδατε· ἐκ τοῦ ἴσατε, ἐν συγκοπῇ, ἴστε.

Ἴσαο προστακτικόν ἐστιν· ὥσπερ γὰρ ἀπὸ τοῦ ἐφάμην ἔφασο γίνεται φάο κατ᾽ ἔνδειαν τοῦ σ· οὕτως ἀπὸ τοῦ ἰσάμην ἴσασο, ἴσαο.

Ἴσαι ἰσάω, ἰσῶ· ἴσαον ἴσων ἴσαες ἴσαε ἴσα.

Ἴστη ἵστημι ὁ παρατατικὸς ἵστην ἵστης ἵστη· τὸ προστακτικὸν ἵστη· ὥσπερ γὰρ

τῶν εἰς μι καὶ εἰς ω̃ τὸ τρίτον πρόσωπον τοῦ παρατατικοῦ δεύτερον μὲν δὲ τὸ προστακτικόν.

Ἰσέον, ἐκ τοῦ ἴσημι ἴσην ὁ παρατατικός, ὁ ἴσας τοῦ ἴσαντος ἴσαθι. καὶ συγκοπῇ ἴαθι. τὸ τρίτον, ἴσω. τῶν δὲ ἡμετέρων τὸ δεύτερον καὶ τρίτον ἴσον, καὶ πλεονασμῷ τοῦ ε, ἰσέον.

Ἰσχανόωσι κατέχουσι κωλύουσιν. ἔχω ἴσχω. παράγωγον ἰσχανῶ.

Ἴσχεο ἔχω ἴσχω ἰσχόμην ἴσχου. καὶ ἰωνικῇ διαλύσει, ἴσχεο.

Ἴσω ἀντὶ τοῦ γινωσκέτω κανονίζεται ἀπὸ τοῦ ἰσάω ἰσῶ τὸ γινώσκω συζυγίας β' τῶν περισπωμένων γίνεται παράγωγον ῥῆμα εἰς μι, ἴσημι συζυγίας β' τῶν εἰς μι. καὶ ὁ παρατατικὸς ἴσην. ἡ μετοχὴ ἰσὰς ἰσάντος. καὶ τὸ προστακτικὸν, ἴσαθι καὶ ἴαθι. ἀφαιρέσει τοῦ α, τὸ γ', ἴσω. καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπίσω. τὸ τρίτον τῶν πληθυντικῶν ἴσωσαν ἀντὶ τοῦ γινωσκέτωσαν.

Ἴσω δὲ Ἡρακλείδης ἡ μὲν τῆς ὀρθογραφίας εἰπών, γράφει τοιαῦτα. τὰ διὰ τοῦ σ ἐκφερόμενα προστακτικὰ καὶ εἰς ω λήγοντα ἀρκτικὸν ἔχει τοῦ ω τὸ θ, οἷον λεγέσθω ποιείσθω, καὶ τὰ ὅμοια. ἡμάρτηται οὖν τὸ ἴσω, καθὰ καὶ τὸ ἔσω, διὰ τοῦ τ λεγόμενα. νοητέον δέ φησιν ἡ μὲν τῆς ὀρθογραφίας αὐτὰ διὰ τὴν πρόσθεσιν τοῦ σ. ἤπερ καὶ διὰ τοῦ τ γράφεσθαι. ταῦτα γὰρ οὕτως εἰπὼν ἐπάγει μετ' ὀλίγα ὅτι ἔνιοι ἐν τῷ ἔσω καὶ ἴσω, οὔ φασι περιττεύειν τὸ σ, ἐκ τοῦ ἰσέτω γὰρ καὶ ἐσέτω κατ' ἔκθλιψιν γίνεσθαι τὸ ἴσω καὶ ἔσω. κἂν μὴν ἀοριστώδη χρόνον σημαίνει τὸ ἔσω, τὸ α εἶναι ἐξαιρούμενον. ἐπὶ δὲ μέλλοντος, τὸ ε λείπει, οὐ τὸ α. ἐφ' οἷς ἐπικρίνει ὅτι τὸ α λείπει ἵνα ᾖ ἑσάτω ἔσω, κινησέτω γὰρ ἢ νυξέτω οὐδεὶς λέγει. εἰ δέ φησι καὶ λείπει τὸ ε ὡς ἐνεστῶτα νοητέον κατὰ τὸ νυσσέτω. ἐν τούτοις γὰρ κατασείων καὶ τὸ ἔτω, ἀφ' οὗ τὸ ἔσω, ἤτω λέξαντες ἐκτάσει τοῦ ε εἰς η, λέγει ὡς οὐδὲν εἰς τῶ λῆγον προστακτικὸν ἔχει παρὰ τέλους τὸ ε μετατίθησι δ' αὐτὸ εἰς η. οὐδεὶς γοῦν τὸ φερέτω λεγέτω φερήτω λεγήτω φησίν. οὐκ οὖν οὐδὲ ἔτω ἤτω. ὡς δέ φησι καὶ τὸ ἔτω ἡμάρτηται διὰ τοῦ ε λεγόμενον παράδειγμα δίδωσι τόδε. πᾶσα μετοχὴ εἰς ων ὀξύτονος τὸ τρίτον πρὸς

τακτικοῦ διὰ τοῦ ἔτω περαιοῖ· ἐλθών, ἐλθέτω· χών, χέτω· σπών σπέ-
τω, ἢ μετασπέτω· ταύτῃ γὰρ καὶ ἀπὸ τοῦ εἰπών εἰπέτω ῥητέον.
προστακτικοῦ μέντοι ἀορίστου μετοχῆς ἅπαν ληγούσης εἰς ς· ὅτι
εἰς τῶ περαιοῦται ἀντὶ τρίτου προσώπου τὸ η παραλήγεται. ὁ σφα-
γεὶς σφαγήτω· δαρεὶς δαρήτω· καὶ ἀπὸ τοῦ θεὶς οὖν καὶ εἷς, θήτω καὶ
ἥτω· οὐ μὴν θέτω ἢ ἕτω ἔνθα ἡ μετοχὴ τῆς δευτέρας εἰπὼν κατὰ τὸ θέτω καὶ ἕ-
τω, ἤγουν ὑπερχέτω· ἢ εἵτω ἀφεὶς (σύνθετον) τὸ ἀφέτω, λέγεται ἢ ὅ-
τι τινὲς οὔτε ἕλω φασὶ προστακτικοῦ, οὔτε ἀπαιτοῦσι τοῦ τὸ ἥτω, ἀλ-
λὰ ἕλω συνέλαβον ἀπὸ τῶν ἑὼν μετοχῆς, ὅθεν γίνεσθαι τὸ εἷ-
τω σὺν διφθόγγῳ· καὶ ἐκεῖθεν ἥτω διὰ τοῦ η. ὁ δ᾽ αὐτὸς ἡρακλείδης
τῶν αὐτῆς ἑὼν ὀξυτόνων μετοχῶν τὸ εὐκτικὸν κανονίζων λέγει ὅ-
τι, καθὰ τῶν ἐλθὼν καὶ εἰπὼν μετοχῆς εὐκτικὰ ἔλθοι ἢ εἴποι·
οὕτω δὲ καὶ χὼν ἐπίσχοι καὶ ἐπισπὼν πόλεμον ἐπίσποι· οὕτω καὶ ἀ-
πὸ τῶν ἑών, ἕοι οὐχὶ εἵη· ἐπειδὴ τὸ εἵη, λέγεται ὡς πᾶν ῥῆμα εὐκτι-
κὸν ἔχον τὴν ει δίφθογγον παρατέλευτον, ἢ τὸ τέλος διὰ τοῦ η ἐκ
μετοχῆς πεποίηται ληγούσης εἰς εις· οὐ μὴν εἰς ων· καὶ τοῦτο φανε-
ρὸν φησὶν ἐκ τῶν αἰολικῶν μετοχῶν· αἰολεῖς γὰρ τὸ νοῶν, νοοίην, φρο-
νῶν φρονοίην, καὶ τὰ ὅμοια· τὰ παρ᾽ ἡμῖν φιλείην ἢ νοείην, ἐπει-
δὴ καὶ τὰς μετοχὰς αὐτῶν εἰς εις προφέρουσι, φίλεις καὶ νόεις λέγοντες,
ἀντὶ τοῦ φιλῶν καὶ νοῶν· κατὰ δὴ τὸ ὅμοιον ἢ ἀπὸ τῶν ὢν προειρη-
μένου μετοχῆς συζυγίας πρώτης τῶν περισπωμένων εἴη ἂν εὐκτι-
κὸν τὸ οἴη· ἢ αἰολικῶς, εἴη· ἐπεὶ καὶ ἡ μετοχὴ εἷς, οὕτω δὲ πρότερον εἰ-
πὼν ὑποκαταβὰς γράφει οὕτως, ἀπὸ τοῦ θεὶς ἢ βλεὶς γίνεται θεῖο
εὐκτικοῦ ἢ βλεῖο· οὗ χρῆσις ἐν ἰλιάδι· πᾶν δὲ τὸ τοιοῦτον εὐκτικοῦ ἤ-
σσων εἰς ο λῆγον παρὰ σικελοῖς ἀπὸ τῶν παρ᾽ ἡμῖν εἰς εις ληγου-
σῶν μετοχῶν, μεταβάλλον τὸ ο εἰς ε, πληθυντικοῦ ποιεῖ προσθέσει
τοῦ τε· θεῖο, θεῖτε· σφαγεῖο σφαγεῖτε· βληθεῖο βληθεῖτε· εἶτα εἰ-
πὼν ὅτι οὕτω καὶ Ὅμηρος ἀπὸ διακρινθεὶς καὶ τοῦ ἐκεῖθεν σι-
κελικοῦ διακρινθεῖο ἔφη τὸ διακρινθεῖτε τάχιστα· καὶ ἀπὸ τῶν
κατὰ σικελοὺς εἷς μετοχῆς, καὶ τοῦ εἶο εὐκτικοῦ τὸ εἶτε, οἰ-

ον ποιεῖτε ὁ δυνατῇ· ἀμύνειν, ὅπερ ἐν τοῖς ἑξῆς κεῖται, καταδέχεται καὶ τοὺς λέγοντας τὰ τοιαῦτα συγκεκόφθαι· οἷον τὸ διακεκρινθεῖτε ἐκ τοῦ διακεκρινθείητε, καὶ τὸ εἶτε ἀπὸ τοῦ εἴητε· εἰπὼν ὡς διαφερόμεθα αὐτοῖς· οὐ γὰρ ἄτοπον αὐτὰ κατὰ συγκοπὴν ἐξενηνέχθαι· καὶ τοιαῦτα μὲν καὶ ταῦτα.

Ἰστέον δὲ ὅτι τεσσάρων ὄντων τούτων, τοῦ σάος ὁ ὑγιής, τοῦ σῶς κατὰ συναίρεσιν· τοῦ σόος διὰ τοῦ ο μικροῦ ὁμηρικῶς· καὶ τοῦ σῶος διὰ παραλήγοντος τοῦ ω μεγάλου, χρῆσις ἐνταῦθα κεῖται τοῦ σάος ἐν τῷ σαώτερος ὥς κε νέηαι· ἤγουν ὅπως ἀκρωτηρίαστος ἀπονοστήσῃς, ὃ μεγάλην ἀπειλὴν ἔχει κατὰ τοῦ λέγοντος Χρύσου, εἰ καὶ εὐφήμως ἐσχημάτισται· παραλαλεῖ γὰρ ὡς ἀκρωτηριασθήσεται εἰ μὴ ταχὺ μνήσεται νόστου.

Ἰστέον ὅτι, οὐ μόνον διὰ τοῦ ι αἱ ἐπεκτάσεις εἰσὶν ὡς ἐν τῷ οὑτωσί· καὶ ταυτί· καὶ νυνί· ἔτι δὲ καὶ διὰ τῆς δε συλλαβῆς, καὶ διὰ τῆς θα ὁμοίως· ὡς δηλοῖ τὸ ἔφησθα, οἶσθα, ἐθέλησθα, καὶ τοιάδε. ἄλλοι γε παλαιοὶ, καὶ τὸ ω ἔν τε ἄλλοις καὶ ἐν τῷ ἴλιον εἴσω ἐπέκτασιν εἶναί φασι· νοοῦντες τὸ εἴσω, ἀντὶ αὐτῆς ἐκείνης τῆς εἰς προθέσεως. τοῦτο δὲ, οὐδὲν καινὸν, ἐὰν καὶ ἀντὶ ἐπιρρήματος τὶς νοήσῃ· διαφορουμένου κατὰ τὴν σύνταξιν. ὥσπερ γὰρ ἀπὸ τῆς ἐξ προθέσεως ἀεὶ γενικῇ συντασσομένης τὸ ἔξω ἐπίρρημα γινόμενον, ἀεὶ καὶ αὐτὸ τὴν γενικὴν ἔχει· οὕτως οὐδὲν παράλογον, εἰ καὶ τὸ εἴσω γινόμενον ἀπὸ τῆς εἰς προθέσεως διαφορουμένης ἐν τῇ συντάξει, διαφορεῖται καὶ αὐτὸ καθ' ὁμοίωσιν ἐκείνης, καὶ ἐπεὶ γὰρ ἡ εἰς πρόθεσις καὶ αἰτιατικῇ κοινῶς οἶδε συντάσσεσθαι, καὶ μὴν καὶ γενικῇ ἀττικῶς εἰς τὸ· εἰς ᾅδου· διὰ τοῦτο καὶ τὸ εἴσω, ποτὲ μὲν οὕτω συντάσσεται· ποτὲ δὲ ἄλλως, οἷον τοῦ οἴκου.

Ἴσαν πεζῷ μὲν λόγῳ οὐκ ἂν εὖ χρησθείη· ποιηταῖς δὲ χρησιμεύει. ἔστι δὲ αὐτοῦ τὸ θέμα ἴω· οὗ τὸ πληθυντικὸν ἴομεν πολλαχοῦ εὕρηται παρὰ τῷ ποιητῇ· τοῦτο δὲ ἴω πλεονασμῷ τοῦ ε

γίνεται εἴω καὶ συναιρέσει εἶω, ἐξ οὗ τὸ ἠιόμενον ἀνὰ δρυμά, ἐν ᾧ δυστεία καὶ ὑπερσυντέλικος ἤειν τὸ ἤια γινωσκόμενος. εἰ δέ τις προϋπάρχειν μὲν ἐρεῖ τὸ εἴω διὰ διφθόγγου, ἀπὸ τούτου δὲ γενέσθαι τὸ διὰ τοῦ ι γραφόμενον ἴω, ἀποβλήσει τοῦ ε, οὐ κακῶς λέγοι τι ἀλλὰ ἐκτὶ. δηλοῖ δὲ ποτὲ τὸ ἴσαν τὸ γνῶσίν τινα. ὡς ἐν τῷ, τὰ δ' οὐκ ἴσαν ὡς ἐτέτυκτο.

Ἱπποκορυσταί, οἱ ἀπὸ θώρακος, τὸ θωράσσω καὶ ἀπὸ ἀσπίδος οἱ ἀσπισταί, καὶ ἀπὸ αἰχμῆς, τὸ αἰχμάζειν, οἱ αἰχμηταί. καὶ ἀπὸ κνημίδος, αἱ κνημῖδες. ὡς ἐκ μέρους ἐν τοῖς τοιούτοις δηλουμένης τῆς ὅλης ὁπλίσεως. οὕτω καὶ ἀπὸ ζώματος τοῦ συναπτομένου ἢ συζευγνυμένου τῷ στατῷ θώρακι, ἢ τῇ μίτρᾳ, ζώννυσθαι φησὶν Ὅμηρος νῦν τὸ ὁπλίζεσθαι εἰπών, ἀτρείδης δὲ βόησεν ἰδὲ ζώννυσθαι ἄνωγεν ἀργείους.

Ἴτην. εἶμι τὸ πορεύομαι. ὁ παρατατικὸς ἦν ᾖς ᾖ. τὸ δυϊκὸν, ἴτον, ἴτην.

Ἴτω ἀπὸ τοῦ εἶμι τὸ πρῶτον τῶν πληθυντικῶν, ἴμεν. τὸ προστακτικὸν ἴθι. τὸ τρίτον ἴτω. καὶ ζητητέον. ὡς τὸ ἴθι.

Ἴυγξ ὁ ἔρως Θεόκριτος, ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα. ἔστι δὲ καὶ ἴυγξ ὄρνεόν τι. ᾧ χρῶνται αἱ φαρμακίδες εἰς φίλτρα. τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον σείσουρα, κατὰ δὲ γραμματικοὺς ἰσοπυγή.

Ἰχανόων σημαίνει τὸ ἐπιθυμῶν. παρὰ τὸ ἔχεσθαι λίαν, γέγονεν ἰχαλῶ, καὶ τροπῇ ἰχανῶ. ἢ ὅτι τὸ ε ἐν τοῖς ῥήμασιν ἐπιφέρει δύο σύμφωνα, πολλάκις τρέπουσιν εἰς ι. μένω, μίμνω. οὕτως ἔχω, ἴσχω. καὶ ὡς φῶ, φαίνω. οὕτως ἴσχω, ἰσχαίνω. ὁ μέλλων ἰσχανῶ. καὶ ἀποβολῇ τοῦ σ, ἰχανῶ καὶ μετῆλθεν ἡ θέσει μακρὰ εἰς τὴν φύσει. ὡς γίγνεται γίνεται. καὶ μετάγεται ὁ μέλλων εἰς ἐνεστῶτα.

Ἴφθιμος ψυχή, γίνεται ἐκ τοῦ ἶφι τὸ ἰσχυρῶς, πλεονασμῷ τοῦ θ. ἵνα ᾖ, ὥσπερ ὄψι, ὄψιμος. ἢ καὶ ἄγαν ὡς ἄνθος ἄνθιμος.

οὕτω καὶ ἶφι, ἴφιμος· καὶ πλεονασμῷ, ἴφθιμος· ὑπερβιβασθέντος τοῦ χρόνου. ἢ παρὰ μὲν ἀρχῆς γινομένης θέσει μακρᾶς· παρὰ δὲ τῆς παραληγούσης φύσει ἐκταθείσης. τὸ δὲ εἰπεῖν συνέδραμεν αὐτὸ ἐκ τοῦ ἶφι· καὶ τοῦ θυμὸς ἢ ψυχή, οὐ λίαν ἀρέσκει τοῖς παλαιοῖς. καὶ τὴν αἰτίαν ἐκεῖνοι λέγουσιν. ἀττικὸν δὲ τὸ ἰφθίμους ψυχάς, καὶ ἢ δύναται μὲν καὶ ἰφθίμας εἰπεῖν κοινῶς· ὡς δηλοῖ τὸ ἰφθίμην ἄλοχον. ἐξέφυγε δὲ τὸ ἐν τρισὶ παρίσοις ἄκαιρον κάλλος.

Ἴψεται ἀντὶ τοῦ βλάψει. ἰάπτω, ὁ μέλλων, ἰάψω. ὁ μέσος μέλλων ἰάψομαι ἰάψεται. καὶ ἐκβολῇ τοῦ α, ἴψεται.

Ἴψ σκώληξ. τὰ εἰς ιψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφονται. οἷον, λίψ. αἰγίλιψ. κύκλωψ. πέλωψ. γέγονε δὲ παρὰ τὸ ἴπτω, τὸ βλάπτω· ἴψω ἴψ. ἰστέον δὲ ὅτι θρίψ, θριπός· καὶ σὴς σητός. καὶ ἴξ ἰκός. ὁ σκώληξ διαφέρει. καὶ θρίπες μὲν, οἱ τὰ ξύλα ἐσθίοντες σκώληκες. ὁ δὲ ἴξ εἶδος σκώληκος ἐγγινομένου ἔνδον τῶν ξύλων. τρώξ, ὁ τὰ ὄσπρια. ψὴν, ὁ τὰ σῦκα. σὴψ ὁ τὰ κρέατα. σῆτες δὲ οἱ τὰ ἱμάτια. ἶπες δὲ οἱ τὰ κέρατα· οἷον μὴ κέρα ταῖπες ἔδοιεν. ἶκες δὲ οἱ τὰς ἀμπέλους. σκώληκες δὲ οἱ ἐν τῇ γῇ. ἐκ δὲ τοῦ ἴψ ἰπός, γίνεται ῥῆμα ἰπόω· ἰπῶ· ἴπημαι· ἰπημένος, ἀντὶ τοῦ ὑπὸ ἰπὸς βεβρωμένος.

Ἰῷ ἤματι, ἐν μιᾷ ἡμέρᾳ. ἴον εὐθεῖα ἀντὶ τοῦ τὸ μόνον, ἡ γενικὴ ἰοῦ, ἡ δοτικὴ ἰῷ περισπώμενον, τὸ ἀρσενικὸν, ἶος· τὸ θηλυκὸν, ἴα.

Ἰὼν παραγενόμενος, ἐκ τοῦ ἴω, ἰῶ· ὁ β' ἀόριστος ἶον, ἡ μετοχὴ, ἰών.

Ἰῶκα· ἰωκάτε δακρυόεσσαν, τινὲς γράφουσι ἰωκάτε δακρυόεσσαν· γίνεται δὲ ἐκθεσμον. ὁ γὰρ Ὅμηρος ἰῶκα τὴν ἰωκὴν λέγει ἤγουν τὴν δίωξιν. τὸ δὲ ἰωκὴ παρὰ τὸ διώκω διωκή. ἢ κατὰ ἀποβολὴν τοῦ δ, ἰωκή, λέγεται ἡ ἴωξις· ὡς ἐκ τοῦ λέξω, λέξις· καὶ ἕξω, ἕξις· διώξω, δίωξις. καὶ κατὰ ἀποβολὴν τοῦ δ, ἴωξις. ἔστι δὲ ἰώνων τὸ πάθος· δεῖα, αἶα.

Ἰωχμὸς δίωξις· ταραχή. παρὰ τὸ διώξω· δεδίωγμαι· διωγμός. καὶ τροπῇ τοῦ γ εἰς χ, καὶ ἀποβολῇ τοῦ δ, ἰωχμός· ὡς ἀπὸ τοῦ πλέξω, πλοχμός· καὶ ἀπὸ τοῦ βρέξω, βροχμός.

Ἴωνες τοῖς παρακειμένοις ἀντὶ ἐνεστώτων χρῶνται· οἷον δεδαηνόημαι. ἀντὶ τοῦ δαμοῦμαι. περὶ δὲ τοῦ εἶναι ὁ Ἡρακλείδης φησί, ὡς ἧχηται, ἤχηται· οἴκηται· ᾤκηται, οὕτως ἀπὸ τοῦ ω̃ πρώτης συζυγίας τῶν περισπωμένων παθητικοῦ ἐνεστῶτος τρίτον, εἶται. ὃ εἴη ἂν παρὰ ἐόσι ἧται μεταπεσούσης κἀνταῦθα τῆς διφθόγγου εἰς η. πληθυντικὸν δὲ αὐτοῦ προσθέσει τοῦ ν ἀναλόγως, ἧνται. κατὰ τὸ πεποίηται, πεποίηνται· καὶ τὰ ὅμοια. εἶτα Ἰωνικῇ τμήσει τοῦ η εἰς ε καὶ α· ὡς νενόηνται νενοέαται. οὕτω καὶ ἧνται, ἕαται. ὁ Ὅμηρος δὲ καὶ ἰάδε προσθεὶς τὸ ι, ἔφη· ἥαται ἐν μεγάροις. εἶτα λέγει ὅτι καὶ τὸ δασυνόμενον, καὶ διὰ τῶν αὐτῶν στοιχείων ἐκφερόμενον, οὕτως ἔχει. τὸ γὰρ ἧνται ἤγουν κάθηνται, κατὰ τμῆσιν τῆς ην συλλαβῆς εἰς ε καὶ α ἕαται, λέγεται· οἷον, οἳ δὴ νῦν ἕαται σιγῇ. τούτοις δὲ ὁ αὐτὸς ἐπάγει, καὶ ὅτι ἔνιοι τῶν Ἰώνων, μόνον τὸ η ἐν τοῖς τοιούτοις παρακειμένοις εἰς ε καὶ α τέμνοντες, τὸ ἑπόμενον ν φυλάττουσι, πεποιέανται λέγοντες καὶ γεγενέανται· καθὰ καὶ τὸ ἐγγεγόνασιν, ἔγγονται· ὅσα Ζηνόδοτος πολλάκις φησί· παρὰ τῷ ποιητῇ οὕτω γράφει καὶ τὰ ἐμικά, δίχα μέντοι τοῦ ν, τὸ πεποίηται καὶ νενόηται πεποιέαται γράφων, καὶ νενοέαται. ἡ μέντοι Ἀριστάρχειος ἔκδοσις, οὐκ οἶδεν Ὅμηρον τῇ δὲ τῇ διαλέκτῳ χρώμενον. εἰ καί τισιν ἔδοξεν ὁμοίως τῷ πεποίηται, πεποιέαται. καὶ τὸ ἧται ἑνικὸν ἤγουν κάθηται, γενέσθαι ἕαται καὶ ληφθῆναι Βοιωτικῶς ἀντὶ τοῦ πληθυντικοῦ τοῦ ἧνται, ἕαται ἐν τῷ· οἳ δὴ νῦν ἕαται σιγῇ. ὃ δὴ ἀπορραπίζει ὁ Ἡρακλείδης εἰπών, οὐδέποτε τὸν Ὅμηρον ἑνικοῖς χρῆσθαι ῥήμασιν ἀντὶ πληθυντικῶν καθάπερ ἐνίοις Βοιωτῶν ἔδοξεν:~